08-08-2022
† Μνήμη τοῦ Ἁγίου Αἰμιλιανοῦ, Ἐπισκόπου Κυζίκου.

Μετὰ τὸν Ἑξάψαλμον,...
Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις
Ὅτι πρέπει σοι πᾶσα δόξα...
Ἦχος δ'.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιον τοῦ Ἁγίου.
Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Μαρτύρων ὁμότροπος, Ἱεραρχῶν καλλονή, ὁσίων ἀγλάϊσμα, Ὀρθοδοξίας φωστήρ, Αἰμιλανὲ πανσεβάσμιε· ἤλεγξας τοῦ τυράννου, τὴν ἀντίθεον πλάνην, ἄνωθεν ἠξιώθης, τῶν στεφάνων τῆς νίκης, καὶ πρεσβεύεις ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμών.

Δόξα... Τὸ ὡς ἄνω

Καὶ νῦν...Τῆς Ἑορτῆς. Ἦχος βαρὺς

Μετεμορθώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις
Ὅτι σὸν τὸ κράτος...

ΚΑΘΙΣΜΑΤΑ
Μετὰ τὴν α' Στιχολογίαν
Ἦχος δ'. Κατεπλάγη Ἰωσὴφ

Τὴν τῶν βροτῶν ἀπαλλαγὴν, ἀπὸ τῆς πλάνης τοῦ θηρός, κατορθωσάμενος σοφῶς, κατηξιώθης ἐκ Θεοῦ, τῆς ἀϊδίου τρυφῆς, τῆς ἐν Παραδείσῳ· ταύτης καὶ ἡμᾶς ἀξιώσειεν, Αἰμιλιανὲ ὢ παναοίδιμε, ταῖς σαῖς θερμαῖς δεήσεσιν, ὁ πάντων λυτρωτής τε καὶ Κύριος, τοὺς προσκυνοῦντας, αὐτοῦ τὴν θείαν, ἐν εἰκόνι ὁμοίωσιν.

Δόξα... Καὶ νῦν, τῆς ἑορτῆς.

Τὴν τῶν βροτῶν ἐναλλαγήν, τὴν μετὰ δόξης σου Σωτήρ, ἐν τῇ δευτέρᾳ καὶ φρικτῇ, τῆς σῆς ἐλεύσεως δεικνύς, ἐπὶ τοῦ ὄρους Θαβὼρ μετεμορφώθης, Ἠλίας καὶ Μωσῆς συνελάλουν σοι, τοὺς τρεῖς τῶν Μαθητῶν συνεκάλεσας, οἳ κατιδόντες Δέσποτα τὴν δόξαν σου, τῇ ἀστραπῇ σου ἐξέστησαν, ὁ τότε τούτοις, τὸ φῶς σου λάμψας, φώτισον τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν β' Στιχολογίαν.
Ἦχος δ'. Κατεπλάγη Ἰωσὴφ

Ὑπὲρ τιμῆς τῆς τοῦ Χριστοῦ, θείας μορφῆς καὶ τῶν αὐτῷ, τετιμημένον αἰκισθείς, καὶ κατευνάσας εὐθαρσῶς, τῆς Ἐκκλησίας τὸν κλύδωνα καὶ τὸν σάλον, ἠξίωσας πολλῆς, παῤῥησίας, σοφέ, αἰτεῖσθαι

παρ᾽ αὐτοῦ χάριν καὶ ἔλεος, καὶ τῶν πταισμάτων ἄφεσιν, θεόφρων τοῖς μετὰ πόθου τιμῶσί σε, καὶ τὴν εἰκόνα, αὐτοῦ ἐν πίστει, προσκυνοῦσι τὴν ἄχραντον.

Δόξα. Καὶ νῦν, *τῆς ἑορτῆς.*

Ἐπὶ τὸ ὄρος τὸ Θαβώρ, μετεμορφώθης, Ἰησοῦ, καὶ νεφέλη φωτεινή, ἐφηπλωμένη ὡς σκηνή, τοὺς Ἀποστόλους τῆς δόξης σου κατεκάλυψεν· ὅθεν καὶ εἰς γῆν ἐναπέβλεπον, μὴ φέροντες ὁρᾶν τὴν λαμπρότητα, τῆς ἀπροσίτου δόξης τοῦ προσώπου σου, ἄναρχε Σῶτερ Χριστὲ ὁ Θεός. Ὁ τότε τούτοις, τὸ φῶς σου λάμψας, φώτισον τὰς ψυχάς ἡμῶν.

*Μετὰ τὸν Πολυέλεον,*

*Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὁ ἀνελθὼν εἰς οὐρανοὺς μετὰ πότμον, καὶ πρὸ τοῦ θρόνου τοῦ Χριστοῦ ἐντυγχάνων, σὺν τοῖς Ἀγγέλοις αἴτησαι μακάριε, ἵνα τὴν ζωὴν ἡμῶν ἐκ παντοίων κινδύνων, λυτρώσηται καὶ θλίψεως, ὡς δεσπότης καὶ μόνος, τῶν ἐν ἀνάγκαις ῥύστης καὶ σωτήρ, ὅν σὺν Πατρί ἀνυμνοῦμεν καὶ Πνεύματι.

Δόξα. Καὶ νῦν, *τῆς ἑορτῆς.*

Ὁ ἀνελθὼν σὺν Μαθηταῖς ἐν τῷ ὄρει, καὶ ἐν τῇ δόξῃ τοῦ Πατρὸς ἀπαστράψας, σὺν Μωϋσῇ Ἠλίας σοι παρίστανται· Νόμος καὶ Προφῆται γὰρ, ὡς Θεῷ λειτουργοῦσιν· ᾧ καὶ τὴν Υἱότητα, τὴν φυσικὴν ὁ Γεννήτωρ, ὁμολογῶν ἐκάλεσεν Υἱόν· ὃν ἀνυμνοῦμεν σὺν σοὶ καὶ τῷ Πνεύματι.

*Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.*

*Ἀντίφωνον Α'.*

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. *(δὶς)*

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. *(δὶς)*

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

*Προκείμενον. Ψαλμὸς ριγ'113*

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου, ἀγαλλιάσει ἀγαλλιάσονται. *(δὶς)*

*Στίχ.* Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου, ἀγαλλιάσει ἀγαλλιάσονται.

*Ἡ Τάξις τοῦ Εὐαγγελίου*

*τοῦ Ὄρθρου*

*Ἦχος β'.*

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

*Εὐαγγέλιον κατὰ Λουκᾶν.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς: Προσέχετε ἀπὸ τῶν ἀνθρώπων...

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν´ Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... Ἦχος β´

Ταῖς τοῦ σοῦ Ὁσίου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β´

Ὅσιε τρισμάκαρ, ἁγιώτατε πάτερ, ὁ ποιμὴν ὁ καλός, καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μαθητῆς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων. Αὐτὸς καὶ νῦν πανεύφημε, τῆς

Κυζίκου ὁ πρόεδρος, αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

*Σῶσον ὁ Θεός τὸν λαόν σου...*

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(γ')

*Ἐλέει καὶ οἰκτιρμοῖς...*

## ΟΙ ΚΑΝΟΝΕΣ

Κανὼν τῆς Ἑορτῆς,

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμὸς

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν, μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Στίχ. Δόξα σοι , Κύριε, δόξα σοι.

Μωσῆς ἐν θαλάσσῃ προφητικῶς, ἰδὼν ἐν νεφέλῃ καὶ ἐν στύλῳ πάλαι πυρός, τὴν δόξαν Κυρίου ἀνεβόα· Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Στίχ. Δόξα σοι , Κύριε, δόξα σοι.

Ὡς πέτρα τῷ σώματι σκεπασθείς, τῷ τεθεωμένῳ, τὸν ἀόρατον καθορῶν, Μωσῆς ὁ θεόπτης ἀνεβόα· Τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Στίχ. Δόξα σοι , Κύριε, δόξα σοι.

Σὺ ἐπὶ τοῦ ὄρους τοῦ νομικοῦ, καὶ ἐν Θαβωρίῳ, καθωράθης τῷ Μωϋσῇ, ἐν γνόφῳ τὸ πάλαι, ἐν φωτὶ δέ, νῦν ἀπροσίτῳ τῆς θεότητος.

Τοῦ Ἁγίου οὗτος

Ὠδὴ α'

Ἦχος α'.

Σοῦ ἡ τροπαιοῦχος

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς ὑπερκοσμίαις συνοικῶν, ταξιαρχίαις θεόφρον μακάριε, τοὺς ἐπιτελοῦντάς σου, χαρμονικῶς τὴν ποθητὴν πανήγυριν, Πάτερ ἐποπτεύων, τῆς σωτηρίας ἀξίωσον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὅλος τῷ Δεσπότῃ συγκραθείς, καὶ τοῖς ἐκεῖθεν ἀστράψας πυρσεύμασι, πᾶσαν κατεφώτισας, σαῖς διδαχαῖς θεοσεβῆ πανήγυριν, ὡς ἱεροφάντωρ, φανεὶς θεόφρον θεόληπτε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Δόξα...

Μύστης ἀκριβὴς τῶν ὑπὲρ νοῦν, τῆς Ἐκκλησίας σαφῶς προϊστάμενος, ὤφθης παναοίδιμε, καὶ κραταιὸς τῆς ἀληθείας πρόμαχος, μύλας τῶν λεόντων, συνθλῶν καὶ φράττων τὰ στόματα.

Καὶ νῦν.... Θεοτοκίον.

Ἕνα ἑκατέραις εὐσεβῶς, τὸν ἐκ γαστρός σου τεχθέντα γινώσκομεν, φύσεσι Πανάμωμε, Θεὸν ὁμοῦ ὑπερφυῶς καὶ ἄνθρωπον, ἔχοντα τελείως ἑκάστης τὰ ἰδιώματα.

Κανὼν τῆς Ἑορτῆς

Ὠδὴ γ'. Ὁ Εἱρμὸς

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Στίχ. Δόξα σοι , Κύριε, δόξα σοι.

Ἡ σκιάζουσα δόξα, ἐν τῇ σκηνῇ πρότερον, καὶ τῷ Μωϋσῇ ὁμιλοῦσα, τῷ σῷ θεράποντι, τύπος γεγένηται, τῆς ἀστραψάσης ἀῤῥήτως, ἐν Θαβώρ σου Δέσποτα Μεταμορφώσεως.

Στίχ. Δόξα σοι , Κύριε, δόξα σοι.

Συνανῆλθέ σοι Λόγε, μονογενὲς ὕψιστε, ἡ τῶν Ἀποστόλων ἀκρότης, ἐπὶ τοῦ ὄρους Θαβώρ, καὶ συμπαρέστησαν ὅτε Μωσῆς καὶ Ἠλίας, ὡς Θεοῦ θεράποντες, μόνε φιλάνθρωπε.

Στίχ. Δόξα σοι , Κύριε, δόξα σοι.

Θεὸς ὅλος ὑπάρχων, ὅλος βροτὸς γέγονας, ὅλῃ τῇ θεότητι μίξας τὴν ἀνθρωπότητα, ἐν ὑποστάσει σου, ἣν ἐν δυσὶ ταῖς οὐσίαις, Μωϋσῆς Ἠλίας τε, εἶδον ἐν ὄρει Θαβώρ.

Τοῦ Ἁγίου . Ὠδὴ γ΄.

Ἦχος α΄

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱκέτην θεόφρονα Χριστοῦ, πιστοῖς σε προβαλλόμεθα, τὸν δι΄ αὐτὸν λαμπρῶς ἀριστεύσαντα, καὶ τὴν εἰκόνα τούτου τιμήσαντα, τοῦ σεπτοῦ κηρύγματος, καὶ τὴν ἄνωθεν πίστιν φυλάξαντα.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μαρτύρων στεῤῥότητα δεικνύς, θεόφρον ἀξιάγαστε, τὴν δυσσεβῆ ὀφρὺν ἐξεφαύλισας, τῆς Ἐκκλησίας ἐκφανεὶς πρόβολος, ἀῤῥαγὴς ἀκλόνητος, καὶ μεσίτης ἔνθεος, καρτερῶς διελέγχων τοὺς ἄφρονας.

Δόξα...

Ἰὸν τῆς αἱρέσεως πιών, εἰς κόρον ὁ παμπόνηρος, διδακτικῷ σου λόγῳ διήλεγκται· φωτὶ γὰρ σκότος ἐξαφανίζεται, καὶ γυμνοῦται πλάσματα, πονηροῦ βουλεύματος τῆς ἐνθέου σοφίας ταῖς λάμψεσι.

Καὶ νῦν.... Θεοτοκίον.

Λαμπρᾷ σε φωνῇ νῦν ἐκ ψυχῆς, κυρίως Θεομήτορα, τὴν τὸν Θεὸν τεκοῦσαν κηρύττομεν, σεσαρκωμένον ἐκ σοῦ τὸν ἄσαρκον, ἐν ἡμῖν σκηνώσαντα, οὐ τροπὴν δεξάμενον, οὐ φυρμῷ συγχυθέντα Πανάμωμε.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν,...

Κάθισμα τοῦ Ἁγίου.

Ἦχος γ΄ Θείας πίστεως

Θείῳ Πνεύματι πεφωτισμένος, ἀνεκήρυξας ἐν παρρησίᾳ, ὀρθοδοξίας παμμάκαρ τὰ δόγματα, καὶ βασιλέα κατῄσχυνας ἄνομον, ὑπερορίαις ἀδίκως στελλόμενος, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα... Καὶ νῦν ... Τῆς Ἑορτῆς.

Ἦχος γ΄ Τὴν ὡραιότητα

Τῆς θείας δόξης σου, ὄντως ἀπαύγασμα, καθὼς ἠδύναντο, ἔδειξας Λόγε Θεοῦ, τοῖς Μαθηταῖς σου ἐν Θαβώρ, ὄρει μεταμορφούμενος, οἷς συνελλαμφθείημεν, καὶ ἡμεῖς οἱ ὑμνοῦντές σε, μόνε

ἀναλλοίωτε, Ἰησοῦ παντοδύναμε, καὶ πίστει σοι συμφώνως βοῶντες· Δόξα Χριστὲ τῇ βασιλείᾳ σου.ε

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Σὺ γὰρ εἶ ὁ Βασιλεύς...

Κοντάκιον.

Ἦχος γ΄ Ἡ Παρθένος σήμερον.

Ἐν Κυζίκῳ Ἅγιε, ἱερουργὸς ἀνεδείχθης, τοῦ Χριστοῦ τὸ ποίμνιον, ἐν εὐσεβείᾳ ἐκθρέψας· τοῦτο γοῦν διαφυλάττων ἐκ τῶν κινδύνων, φρούρει τε καὶ σκέπε πάντας τοὺς ἀνυμνοῦντας, εὐσεβῶς καὶ Ὀρθοδόξως, Τριάδα μίαν, δημιουργὸν τοῦ παντός.

Ὁ Οἶκος.

Τὸ τῆς ἀσεβείας μένος κατ' εἰκόνων καθορῶν Αἰμιλιανὸς ὁ θαυμάσιος, τῷ θείῳ ἀμφιέννυται ζήλῳ, καὶ ὡς ἄλλος Μωϋσῆς Φαραὼ τὸν νέον εὐθαρσῶς ἐλέγξας, βασάνους τε ὑπέστη καὶ ὑπερορίας μακράς· ἀλλ' αὐτὸς ὥσπερ ἄκμων στεῤῥὸς ἀνήλατος διέμεινε, καὶ τὴν πλάνην ἐν μέσῳ συνόδου Πατέρων κατήργησεν, ἀνακηρύξας τρανῶς τὸ σέβας τῆς Χριστοῦ εἰκόνος, καὶ ὀρθοδόξως δογματίσας προσκυνεῖν προσώπων ἐν Τριάδι Θεὸν ἕνα, δημιουργὸν τοῦ παντός.

Συναξάριον

Τῇ 8η τοῦ μηνός Αὐγούστου, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Αἰμιλιανοῦ, Ἐπισκόπου Κυζίκου, τοῦ ὁμολογητοῦ.

Στίχοι

Ψυχῆς πολὺν θεὶς Αἰμιλιανὸς λόγον,

Τῆς σαρκος ἠλόγησεν ἄχρι καὶ τέλους.

Ὀγδόῃ Αἰμιλιανοῦ ὀστέα δέξατ' ἄρουρα.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Μύρωνος, Ἐπισκόπου Κρήτης, τοῦ θαυματουργοῦ.

Στίχοι

Μύρων ὁ θεῖος ἀρετῆς μύρου πνέων,

Εὐωδίας πρόσεισιν ὀσμὴ Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου Ἡγουμένου Ὀρόβων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων μαρτύρων Ἐλευθερίου καὶ Λεωνίδου, διὰ πυρὸς τελειωθέντων.

Στίχοι

Ἀμφοῖν ἀθλητῶν, οὐ θυόντων τῇ πλάνῃ,

Ποινὴν κατακρίνουσιν οἱ πλάνοι φλόγα.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι δέκα ἀσκηταί, οἱ ἐξ Αἰγύπτου, ἐν εἰρήνῃ τελειοῦνται.

Στίχοι

Βλαστήματα θνῄσκουσιν Αἰγύπτου δέκα,

Πληγαῖς ἐκείναις ἰσάριθμοι ταῖς δέκα.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Καταβασίαι τῆς Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ

Ὠδὴ α΄. Ἦχος πλ. δ΄.

Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι, τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ'

εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον. Διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὠδὴ γ΄.

Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται, τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα. Τῇ στειρευούσῃ δὲ πρώην, Ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον Σταυροῦ,εἰς κράτος καὶ στερέωμα.

Ὠδὴ δ΄.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεότητα.

Ὠδὴ ε΄.

Ὢ τρισμακάριστον ξύλον! ἐν ᾧ ἐτάθη Χριστός, ὁ Βασιλεὺς καὶ Κύριος΄ δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθείς, Θεῷ τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὠδὴ ϛ΄.

Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς. Ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει τὸν κόσμον φωτίσαντος.

Ὠδὴ ζ΄.

Ἔκνοον πρόσταγμα τυράννου, δυσσεβοῦς, λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς, καὶ δυσφημίας θεοστυγοῦς. Ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσε θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον΄ ἀλλ΄ ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον΄ ὁ ὑπερύμνητος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, Δημιουργὸν Πατέρα Θεόν, ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα, καὶ ὑπερυψοῦτε, τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος πλ. δ΄)

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν...

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία Ὠδὴ θ΄.Πλ. δ΄

Μυστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ᾽ οὗ τὸ τοῦ Σταυροῦ ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον. Διὸ νῦν ὑψουμένου προσκυνοῦντες αὐτόν, σὲ μεγαλύνομεν».

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

Ἐξαποστειλάρια.

Ἦχος β΄

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὅτε ὁ θὴρ ἐφώρμησε, κατὰ τῆς Ἐκκλησίας, Λέων ὁ μιξοβάρβαρος ὁ ἀκόρεστος Ἅδης, μὴ προσκυνεῖσθαι κελεύσας, τὰς πανσέπτους Εἰκόνας, τότε στερρῶς διήλεγξας, μάκαρ Αἰμιλιανέ, τὴν βδελυράν, θεόμαχον αἵρεσιν τοῦ τυράννου, ὑφ᾽ οὗ πικρὰς ὑπήνεγκας, ἐξορίας καὶ θλίψεις.

Τῆς Ἑορτῆς, ὅμοιον

Ἦχος β΄

Πρὸ τοῦ Σταυροῦ σου Κύριε, Μαθητῶν τοὺς προκρίτους, λαβὼν μετεμορφώθης νῦν, ἐν Θαβὼρ τῷ ἁγίῳ, ἐν ᾧ Μωσῆς καὶ Ἠλίας, παρειστήκεισαν τρόμῳ, δουλοπρεπῶς σοι Δέσποτα, συλλαλοῦντες, μεθ᾽ ὧν σε, Χριστὲ Σωτήρ, σὺν Πατρὶ καὶ Πνεύματι προσκυνοῦμεν, τὸν ἐκ Παρθένου λάμψαντα, εἰς βροτῶν σωτηρίαν.

ΑΙΝΟΙ . Ἦχος πλ. α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Λάμψας ἐπὶ τοῦ ὄρους Θαβώρ, τῆς θεϊκῆς Χριστὲ μορφῆς τὴν λαμπρότητα, παρέδειξας ὡς ἐχώρει, τοῖς Μαθηταῖς σου ἰδεῖν, Πέτρῳ, Ἰακώβῳ, Ἰωάννῃ τε· Μωσῆς καὶ Ἠλίας δέ, Προφητῶν οἱ ἀκρέμονες, παρεστηκότες, συνελάλουν σοι ἔνθεοι, καὶ ἐδόξαζον, τὴν πολλὴν συγκατάβασιν, ἣν μακροθύμως ἔμελλες ἐνδείξασθαι, Κύριε μέχρι Σταυροῦ καὶ θανάτου, διὰ τὸ σῶσαι τὸν ἄνθρωπον. Μεθ᾽ ὧν καὶ ἡμεῖς σου προσκυνοῦμεν, καὶ δοξάζομεν τὴν Θεότητα.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος , αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἆρόν σου τὴν φωνὴν ἀληθῶς, ἡ Ἐκκλησία τῆς Κυζίκου καὶ βόησον, Πατρός σου τὴν θείαν μνήμην, ἐπιτελοῦσα φαιδρῶς, καὶ αὐτοῦ τιμῶσα τὴν μετάστασιν· καὶ γὰρ μεταβέβηκεν, ἀπὸ γῆς πρὸς οὐράνια, καὶ συγχορεύει, τῶν Ἀγγέλων τοῖς τάγμασιν, ἱκετεύει τε σὺν Ἁγίοις τὸν Κύριον, ὅπως ἐκλυτρωθείημεν, μελλούσης κολάσεως, οἱ τοῖς πολλοῖς καὶ ποικίλοις καταβαρούμενοι πταίσμασι, Χριστὸν ἀνυμνοῦντες, τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Δεῦρο ὁ ἐν Συνόδῳ ποτέ, εἰκονομάχων ἐξελέγξας τὴν αἵρεσιν, τῶν μὴ τιμῆς ἀξιούντων μορφὴν Χριστοῦ τοῦ Θεοῦ, καὶ ἀειπαρθένου τῆς μητρὸς αὐτοῦ, κλεινῶν Ἀποστόλων τε καὶ Μαρτύρων εἰκόνισμα, καὶ Ἐκκλησίαις ἀποδοὺς τὴν εὐπρέπειαν, καὶ αἰκίσματα, ὑπὲρ ταύτης δεξάμενος, πάρεσο ἱερώτατε, τοῖς πόθῳ τιμῶσί σε, συμπαρεστὼς ἀοράτως, καὶ ταῖς εὐχαῖς ἱλασκόμενος, Χριστὸν τὸν Σωτῆρα, τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ὤφθη τῇ Ἐκκλησίᾳ Χριστοῦ, ἐν Ἱεράρχαις θαυμαστὸς καὶ ἀήττητος, ὡς κήρυξ τῆς ἀληθείας, καὶ τῶν πιστῶν στηριγμός, Αἰμιλιανὸς ὁ παναοίδιμος. Αὐτὸν οὖν φιλέορτοι, καταστέψωμεν ᾄσμασιν, ὡς πολιοῦχον, τῆς αὐτοῦ ποίμνης ἄγρυπνον, ἐνηδόμενοι τοῖς αὐτοῦ κατορθώμασι, πίστει τε ἱκετεύοντες, Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ δωρήσασθαι πλουσίως τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. α΄.

Μόνου τοῦ Θεοῦ ὀρεγόμενος, καὶ αὐτοῦ τυχεῖν ἐφιέμενος ἐλλάμψεως τῆς θείας, Ἱεράρχα Κυρίου θεσπέσιε, ὁσίως δ᾽ ἀσκήσεως διῆλθες τὸν βίον, καὶ Μαρτύρων ἐνεδύσω στεῤῥότητα. Ὅθεν δι᾽ ἀμφοτέρων ἐκλάμψας, διπλοῦς καὶ τοὺς στεφάνους ἐκομίσω παρὰ τοῦ νέμοντος τὸ στέφος τὸ ἄφθαρτον· ᾧ καὶ παριστάμενος, Αἰμιλιανὲ ἀξιάγαστε, πρέσβευε εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, τῆς ἑορτῆς. Ἦχος πλ. α΄

Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ ἡμῶν, καὶ θεασώμεθα τὴν δόξαν τῆς Μεταμορφώσεως αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός, φωτὶ προσλάβωμεν φῶς, καὶ μετάρσιοι γενόμενοι τῷ πνεύματι, Τριάδα ὁμοούσιον ὑμνήσωμεν εἰς τοὺς αἰῶνας.

Δοξολογία Μεγάλη. Ἦχος πλ. α΄

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾿ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾿ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα΄ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Ἀπολυτίκιον τοῦ Ἁγίου.*

*Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Μαρτύρων ὁμότροπος, Ἱεραρχῶν καλλονή, ὁσίων ἀγλάϊσμα, Ὀρθοδοξίας φωστήρ, Αἰμιλανὲ πανσεβάσμιε· ἤλεγξας τοῦ τυράννου, τὴν ἀντίθεον πλάνην, ἄνωθεν ἠξιώθης, τῶν στεφάνων τῆς νίκης, καὶ πρεσβεύεις ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

ΑΝΤΙΦΩΝΑ *τῆς ἑορτῆς*

*Ἦχος β΄.*

*Ἀντίφωνον Α΄*

*Στίχ. α΄.* Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. β΄. Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. γ΄. Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. δ΄. Τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου Κυρίου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Ἀντίφωνον Β΄

Στίχ. α΄. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς, ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

Στίχ. β΄. Ἀγαπᾷ Κύριος τὰς πύλας Σιών, ὑπὲρ πάντα τὰ σκηνώματα, Ἰακώβ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς, ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

Στίχ. γ΄. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς, ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

Στίχ. δ΄. Μήτηρ Σιών, ἐρεῖ ἄνθρωπος. καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς, ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

Δόξα Πατρί...Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄

Στίχ. α΄. Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι.

Ἦχος βαρὺς

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο, Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι.

Στίχ. β΄. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε.

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο, Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι.

Στίχ. γ΄. Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο, Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι.

Στίχ. δ΄. Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν.

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός...

Εἴσοδος.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς, ψάλλοντάς σοί΄ Ἀλληλούϊα.

*Ἀπολυτίκιον τῆς ἑορτῆς.*
*Ἦχος βαρὺς*

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο, Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι.

*Ἀπολυτίκιον τοῦ Ἁγίου.*
*Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Μαρτύρων ὁμότροπος, Ἱεραρχῶν καλλονή, ὁσίων ἀγλάϊσμα, Ὀρθοδοξίας φωστήρ, Αἰμιλανὲ πανσεβάσμιε· ἤλεγξας τοῦ τυράννου, τὴν ἀντίθεον πλάνην, ἄνωθεν ἠξιώθης, τῶν στεφάνων τῆς νίκης, καὶ πρεσβεύεις ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμών.

*Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ*

*Κοντάκιον τῆς Ἑορτῆς*
*Ἦχος βαρὺς.*
*Αὐτόμελον*

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς ἐθεάσαντο, ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

*Τρισάγιον Ἀποστόλου*

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. *γ'*

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Ἀπόστολος.*
*Προκείμενον Ἦχος βαρύς*

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

*Στ.:* Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περί πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα (*ιγ'* 17-21)

Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι· περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

*Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου*

Εἰς τό Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ἦχος β᾽

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β᾽

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων
Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη
στὸν Ι.Ν. Ἁγίου Γεωργίου
Κουλούρας Βέροιας.